# Ἰωάννου γ′

**1** Ὁ πρεσβύτερος Γαΐῳ[ا] τῷ ἀγαπητῷ, ὃν ἐγὼ ἀγαπῶ[ب] ἐν ἀληθείᾳ. ۲ Ἀγαπητέ,
περὶ πάντων εὔχομαί[ا] σε εὐοδοῦσθαι[ب] καὶ ὑγιαίνειν,[پ] καθὼς εὐοδοῦταί[ت] σου ἡ
ψυχή. ۳ ἐχάρην[ا] γὰρ λίαν[ب] ἐρχομένων[پ] ἀδελφῶν καὶ μαρτυρούντων[ت] σου τῇ
ἀληθείᾳ, καθὼς σὺ ἐν ἀληθείᾳ περιπατεῖς.[ث] ۴ μειζοτέραν[ا] τούτων οὐκ ἔχω[ب]
⸀χαράν, ἵνα ἀκούω[پ] τὰ ἐμὰ τέκνα ἐν ⸀τῇ ἀληθείᾳ περιπατοῦντα.[ت] ۵ Ἀγαπητέ,
πιστὸν ποιεῖς[ا] ὃ ἐὰν ἐργάσῃ[ب] εἰς τοὺς ἀδελφοὺς καὶ ⸀τοῦτο ξένους,[پ] ۶ οἳ
ἐμαρτύρησάν[ا] σου τῇ ἀγάπῃ ἐνώπιον ἐκκλησίας, οὓς καλῶς ποιήσεις[ب]
προπέμψας[پ] ἀξίως[ت] τοῦ θεοῦ· ۷ ὑπὲρ γὰρ τοῦ ὀνόματος ἐξῆλθον[ا] μηδὲν
λαμβάνοντες[ب] ἀπὸ τῶν ⸀ἐθνικῶν.[پ] ۸ ἡμεῖς οὖν ὀφείλομεν[ا] ⸀ὑπολαμβάνειν[ب]
τοὺς τοιούτους, ἵνα συνεργοὶ[پ] γινώμεθα[ت] τῇ ἀληθείᾳ. ۹ Ἔγραψά[ا] ⸀τι τῇ
ἐκκλησίᾳ· ἀλλ’ ὁ φιλοπρωτεύων[ب] αὐτῶν Διοτρέφης[پ] οὐκ ἐπιδέχεται[ت] ἡμᾶς.
۱۰ διὰ τοῦτο, ἐὰν ἔλθω,[ا] ὑπομνήσω[ب] αὐτοῦ τὰ ἔργα ἃ ποιεῖ,[پ] λόγοις πονηροῖς
φλυαρῶν[ت] ἡμᾶς, καὶ μὴ ἀρκούμενος[ث] ἐπὶ τούτοις οὔτε αὐτὸς ἐπιδέχεται[ج] τοὺς

---

**فصل ۱**
۱ا برایی مذکر مفرد Γάϊος گایوس
ب حال معلوم اخباری اول مفرد
۲ا حال وسط اخباری اول مفرد εὔχομαι دعا کردن
ب حال مجهول مصدر εὐοδόομαι کامیاب بودن
پ حال معلوم مصدر ὑγιαίνω تندرست بودن
ت حال مجهول اخباری سوم مفرد εὐοδόομαι کامیاب بودن
۳ا گذشته مجهول اخباری اول مفرد
ب λίαν زیاد
پ حال وسط وصفی وابستگی مذکر جمع
ت حال معلوم وصفی وابستگی مذکر جمع
ث حال معلوم اخباری دوم مفرد
۴ا مفعولی مؤنث مفرد μειζότερος بیشتر
ب حال معلوم اخباری اول مفرد
پ حال معلوم التزامی اول مفرد

ت حال معلوم وصفی مفعولی خنثی جمع
۵ا حال معلوم اخباری دوم مفرد
ب گذشته وسط التزامی دوم مفرد
پ مفعولی مذکر جمع ξένος بیگانه
۶ا گذشته معلوم اخباری سوم جمع
ب آینده معلوم اخباری دوم مفرد
پ گذشته معلوم وصفی فاعلی مذکر مفرد προπέμπω روانهٔ سفر کردن
ت ἀξίως به طور شایسته
۷ا گذشته معلوم اخباری سوم جمع
ب حال معلوم وصفی فاعلی مذکر جمع
پ وابستگی مذکر جمع ἐθνικός ملت
۸ا حال معلوم اخباری اول جمع
ب حال معلوم مصدر ὑπολαμβάνω پذیرفتن
پ فاعلی مذکر جمع συνεργός همکار

ت حال وسط التزامی اول جمع
۹ا گذشته معلوم اخباری اول مفرد
ب حال معلوم وصفی فاعلی مذکر مفرد φιλοπρωτεύω دوست داشتن جایگاه نخست
پ فاعلی مذکر مفرد Διοτρέφης دیوتْرِفیس
ت حال وسط اخباری سوم مفرد ἐπιδέχομαι پذیرفتن
۱۰ا گذشته معلوم التزامی اول مفرد
ب آینده معلوم اخباری اول مفرد ὑπομιμνήσκω یادآوری کردن
پ حال معلوم اخباری سوم مفرد
ت حال معلوم وصفی فاعلی مذکر مفرد φλυαρέω بد گفتن
ث حال مجهول وصفی فاعلی مذکر مفرد ἀρκέω راضی شدن
ج حال وسط اخباری سوم مفرد ἐπιδέχομαι پذیرفتن

ἀδελφοὺς καὶ τοὺς βουλομένους[چ] κωλύει[ح] καὶ ἐκ τῆς ἐκκλησίας ἐκβάλλει.[خ]
١١ Ἀγαπητέ, μὴ μιμοῦ[ا] τὸ κακὸν ἀλλὰ τὸ ἀγαθόν. ὁ ἀγαθοποιῶν[ب] ἐκ τοῦ θεοῦ
ἐστιν·[پ] ὁ κακοποιῶν[ت] οὐχ ἑώρακεν[ث] τὸν θεόν. ١٢ Δημητρίῳ[ا] μεμαρτύρηται[ب]
ὑπὸ πάντων καὶ ὑπὸ αὐτῆς τῆς ἀληθείας· καὶ ἡμεῖς δὲ μαρτυροῦμεν,[پ] καὶ
⸀οἶδας[ت] ὅτι ἡ μαρτυρία ἡμῶν ἀληθής[ث] ἐστιν.[ج] ١٣ Πολλὰ εἶχον[ا] ⸂γράψαι[ب] σοι⸃,
ἀλλ᾽ οὐ θέλω[پ] διὰ μέλανος[ت] καὶ καλάμου[ث] σοι ⸀γράφειν·[ج] ١۴ ἐλπίζω[ا] δὲ
εὐθέως ⸂σε ἰδεῖν⸃,[ب] καὶ στόμα πρὸς στόμα λαλήσομεν.[پ] ١۵ Εἰρήνη σοι.
ἀσπάζονταί[ا] σε οἱ φίλοι.[ب] ἀσπάζου[پ] τοὺς φίλους[ت] κατ᾽ ὄνομα.

---

چ حال وسط وصفی مفعولی مذکر جمع
ح حال معلوم اخباری سوم مفرد κωλύω جلوگیری کردن
خ حال معلوم اخباری سوم مفرد
١١ ا حال وسط امری دوم مفرد μιμέομαι تقلید کردن
ب حال معلوم وصفی فاعلی مذکر مفرد ἀγαθοποιέω خوبی کردن
پ حال معلوم اخباری سوم مفرد
ت حال معلوم وصفی فاعلی مذکر مفرد κακοποιέω بدی کردن
ث کامل معلوم اخباری سوم مفرد
١٢ ا برایی مذکر مفرد Δημήτριος دیمیتریوس
ب کامل مجهول اخباری سوم مفرد
پ حال معلوم اخباری اول جمع
ت کامل معلوم اخباری دوم مفرد
ث فاعلی مؤنث مفرد ἀληθής حقیقی
ج حال معلوم اخباری سوم مفرد
١٣ ا گذشته استمراری معلوم اخباری اول مفرد
ب گذشته معلوم مصدر
پ حال معلوم اخباری اول مفرد
ت وابستگی خنثی مفرد μέλαν جوهر
ث وابستگی مذکر مفرد κάλαμος قلم
ج حال معلوم مصدر
١۴ ا حال معلوم اخباری اول مفرد
ب گذشته معلوم مصدر
پ آینده معلوم اخباری اول جمع
١۵ ا حال وسط اخباری سوم جمع
ب فاعلی مذکر جمع φίλος دوست
پ حال وسط امری دوم مفرد
ت مفعولی مذکر جمع φίλος دوست